Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

XXIV. Lex Constantini de pietate in Deum, & de Christiana religione.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

τοῖς γράμμασι· δύο δ' ἦν ταῦτα. τὸ μὲν ταῖς ἐκκλησίαις τοῦ Θεοῦ· τὸ δὲ τοῖς ἐκτὸς κατὰ πόλιν δήμοις διαπεμφθὲν· ὃ δὴ τῇ παρούσῃ προσῆκον ὑποθέσει ἔμοιγε δοκεῖ παρενθεῖναι. ὡς ἂν διὰ τῆς ἱστορίας μένοι καὶ διαφυλάττοιτο τοῖς μεθ' ἡμᾶς, ἥ τε τοῦδε τοῦ γράμματος ἔκθεσις, πρός τ' ἀληθείας καὶ τῶν ἡμετέρων διηγημάτων πίστωσιν. εἴληπται δ' ἐξ αὐθεντικοῦ τοῦ παρ' ἡμῖν φυλαττομένου βασιλικοῦ νόμου, ᾧ καὶ τῆς αὐτοῦ δεξιᾶς ἔγγραφος ὑποσημείωσις, τῆς τοῦ λόγου πιστώσεως οἷά τινι σφραγῖδι κατασημαίνει τὴν μαρτυρίαν.

A legerit. Sunt autem duæ: altera ad Ecclesias Dei directa; altera ad singularum urbium populos à nostra religione alienos. Quam quidem utpote præsenti argumento convenientissimam, hic inserendam esse duxi; tum ut historiarum monumentis prodita ejus exemplaria, apud posteros perpetuò conserventur; tum ut narrationis nostræ fides ac veritas confirmetur. Descripta autem est ex authentico exemplari legis Imperialis, quod apud nos servatur. Cui Principis manu apposita subscriptio, orationis nostræ veritatem tanquam sigillo quo-
B dam astruit.

## ΚΕΦΑΛΑΙΟΝ ΚΔ'.

Νόμος Κωνσταντίνου περὶ τῆς εἰς Θεὸν εὐσεβείας καὶ τοῦ χριστιανισμοῦ.

Νικητὴς Κωνσταντῖνος, Μέγιστος Σεβαστὸς, ἐπαρχιώταις Παλαιστίνης.

ἩΝ μὲν ἄνωθέν τε καὶ πάλαι παρὰ τοῖς ὀρθῶς καὶ σωφρόνως περὶ τοῦ κρείττονος δοξάζουσιν, ἔκδηλος ἡ διαφορὰ, καὶ πᾶσαν ἀνείργουσα πόρρωθεν ἀμφιβολίαν. ὅσῳ τῷ μέσῳ διήλλαττεν ἡ περὶ τὴν σεβασμιωτάτην τοῦ χριστιανισμοῦ θεραπείαν ἀκριβὴς παρατήρησις, παρὰ τοὺς πρὸς αὐτὴν ἐκπεπολεμωμένους τε καὶ καταφρονητικῶς ἔχοντας. νυνὶ δὲ καὶ μᾶλλον ἐπιφανεστέραις πράξεσι καὶ κατορθώμασι λαμπροτέροις, τό, τε τῆς ἀμφιβολίας ἄλογον ἀποδέδεικται, καὶ ὁπόση τίς ἐστιν ἡ τοῦ μεγάλου Θεοῦ δύναμις. ἡνίκα τοῖς μὲν πιστῶς τὸν σεμνότατον σέβουσι νόμον, καὶ μηδὲν τῶν παραγγελμάτων παραλύειν τολμῶσιν, ἄφθονα τὰ ἀγαθά, καὶ πρὸς τὰς ἐγχειρήσεις ἰσχὺς ἀρίστη, καὶ μετ' ἐλπίδων ἀγαθῶν ἀπαντῶσα. τοῖς δὲ τὴν ἀσεβῆ λαβοῦσι γνώμην, πρὸς τὰς προαιρέσεις ἀκόλουθα καὶ τὰ ἀποβαίνοντα. τίς γὰρ ἀγαθοῦ τύχοι τινὸς, τὸν τῶν ἀγαθῶν αἴτιον Θεὸν οὔτε γνωρίζων, οὔτε τὰ προσήκοντα σέβειν ἐθέλων; πίστιν δὲ τῷ ῥηθέντι καὶ τὰ ἔργα δίδωσιν.

## Caput XXIV.

*Lex Constantini de pietate in Deum, & de Christiana religione.*

*Victor Constantinus Maximus Augustus, Provincialibus Palæstinæ.*

IAmpridem apud eos qui rectè & sapienter de Deo sentiunt, evidenti discrimine, quo omnis dubitatio removetur, apparuit quantum interesset inter studiosos observatores venerandæ
C Christianorum religionis, & inter ejusdem oppugnatores & contemptores. Nunc verò evidentioribus argumentis, & rebus gestis multò illustrioribus, tum dubitationis ipsius absurditas, tum quanta sit summi Dei potentia, declaratur. Quippe his quidem qui venerandam legem fideliter colunt, nullumque ejus præceptum audent dissolvere, omnium bonorum copia, & ad ea quæ aggressi sunt perficienda vires idoneæ cum bona spe ac fiducia suppetunt. Iis verò qui impiam sententiam amplexi sunt, convenientes rerum eventus contigerunt. Nam quis est, qui cum Deum bonorum Auctorem non agnoscat,
D eúmque debito cultu venerari recuset quicquam boni unquam consequatur? Res certè ipsæ dictis nostris fidem faciunt.

## ΚΕΦΑΛΑΙΟΝ ΚΕ'.

Ὑπόδειγμα ἐκ παλαιῶν χρόνων.

ΕΙ γοῦν τις εἰς τοὺς ἄνωθεν καὶ εἰς δεῦρο παρατείναντας χρόνους ἀναδράμοι τῷ νῷ, καὶ τὰς πρότερον γινομένας πράξεις κατίδοι τῷ λογισμῷ, πάντας ἂν εὕροι τοὺς μὲν ὅσοι δικαίαν καὶ ἀγαθὴν προκατεβάλλοντο τῶν πραγμα-

## Caput XXV.

*Exemplum à vetustis temporibus.*

QUod si quis superiora tempora ad nos usq; deducta cogitatione repetat, & res olim gestas contempletur animo, omninò reperiet; eos quidem qui justitiam ac probitatem fundamentum sibi rerum agendarum constitue-